ν̄δ̄ ὄντα ἔχων τὰ τοῦ Πλωτίνου βιβλία διεῖλον μὲν εἰς ἓξ ἐννεάδας τῇ τελειότητι τοῦ ἓξ ἀριθμοῦ καὶ ταῖς ἐννεάσιν ἀσμένως ἐπιτυχών, ἑκάστῃ δὲ ἐννεάδι τὰ οἰκεῖα φέρων συνεφόρησα δοὺς καὶ τάξιν πρώτην τοῖς ἐλαφροτέροις προβλήμασιν. ἡ μὲν γὰρ πρώτη ἐννεὰς ἔχει τὰ ἠθικώτερα τάδε·

I. 1 α′ Τί τὸ ζῷον καὶ τίς ὁ ἄνθρωπος·
οὗ ἡ ἀρχή· ἡδοναὶ καὶ λῦπαι.

I. 2 β′ Περὶ ἀρετῶν·
οὗ ἡ ἀρχή· ἐπειδὴ τὰ κακὰ ἐνταῦθα.

I. 3 γ′ Περὶ διαλεκτικῆς·
οὗ ἡ ἀρχή· τίς τέχνη ἢ μέθοδος.

I. 4 δ′ Περὶ εὐδαιμονίας·
οὗ ἡ ἀρχή· τὸ εὖ ζῆν καὶ τὸ εὐδαιμονεῖν.

I. 5 ε′ Εἰ ἐν παρατάσει χρόνου τὸ εὐδαιμονεῖν·
οὗ ἡ ἀρχή· εἰ τὸ εὐδαιμονεῖν ἐπίδοσιν.

I. 6 ϛ′ Περὶ τοῦ καλοῦ·
οὗ ἡ ἀρχή· τὸ καλὸν ἔστι μὲν ἐν ὄψει.

I. 7 ζ′ Περὶ τοῦ πρώτου ἀγαθοῦ καὶ τῶν ἄλλων ἀγαθῶν·
οὗ ἡ ἀρχή· ἆρ᾽ ἄν τις ἕτερον εἴποι ἀγαθὸν ἑκάστῳ.

I. 8 η′ Πόθεν τὰ κακά·
οὗ ἡ ἀρχή· οἱ ζητοῦντες πόθεν τὰ κακά.

I. 9 θ′ Περὶ τῆς ἐκ τοῦ βίου εὐλόγου ἐξαγωγῆς·
οὗ ἡ ἀρχή· οὐκ ἐξάξεις ἵνα μὴ ἐξίῃ.

Ἡ μὲν οὖν πρώτη ἐννεὰς τάδε περιέχει ἠθικωτέρας ὑποθέσεις περιλαβοῦσα. ἡ δὲ δευτέρα τῶν φυσικῶν συναγωγὴν ἔχουσα τὰ περὶ κόσμου καὶ τὰ τῷ κόσμῳ ἀνήκοντα περιέχει. ἔστι δὲ ταῦτα·

II. 1 α′ Περὶ τοῦ κόσμου·
οὗ ἡ ἀρχή· τὸν κόσμον ἀεὶ λέγοντες καὶ πρόσθεν εἶναι.